Καὶ θοἰμάτια τἀνδρεῖα τάπερ ἐκλέψατε
Ἐπαναβάλλεσθε κᾆτα ταῖς βακτηρίαις
Ἐπερειδόμεναι, βαδίζετ' ᾄδουσαι μέλος
Πρεσβυτικόν τι. τὸν τρόπον μιμούμεναι
Τὸν τῶν ἀγροίκων. Γυ. εὖ λέγεις. ἡμεῖς δέ γε
Προΐωμεν αὐτῶν. καὶ γὰρ ἑτέρας οἴομαι
Ἐκ τῶν ἀγρῶν εἰς τὴν Πύκν' ἥξειν ἄντικρυς
Γυναῖκας. ἀλλὰ σπεύσαθ' ὡς εἴωθ' ἐκεῖ
Τοῖς μὴ παροῦσιν ὀρθρίοις ἐς τὴν Πύκνα,
Ὑπαποτρέχειν ἔχουσι, μηδὲ πάτταλον.

A Et vestes viriles quas furati estis,
Suprà iicite, & postea baculis
Firmatæ, ite canentes cantum,
Senilem aliquem morem imitantes
Illum agrestium. MVL. bene dicis. nos autem
B Praeamus ipsis, etenim alias puto
Ex agris in Pnycum venire aperte
Mulieres. Sed festinate, quòd consuetum est illic
Non præsentibus diluculo in Pnycum,
Reuerti habentibus neque palum.

Σχόλια. Προΐωμεν αὐτῶν] προηγησώμεθα τῶν λοιπῶν γυναικῶν. Ὑπαποτρέχειν] ὀπίσω τρέχειν. Πάτταλον] τὸ τυχόν. οἱ γὰρ ὕστερον ἐλθόντες, οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.

BISETVS. Παροιμιακῶς τοῦτο λέγεται. τουτέστι C μηδὲ μικρότατόν τι. τινὲς δὲ πάσσαλον, ἢ πασσάλιν γράφουσιν, ὅπερ τὸ τοῦ ἀλεύρου λεπτότατον σημαίνει. τινὲς δὲ πάσσαλον τὸν κέγχρον καλοῦσι, ὃς τοὺς κόκκους ἐλαχίστους ἔχει. ἀλλὰ καὶ τοῦτο καλῶς ἔχει.

## ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

## CHORVS MVLIERVM.

BISETVS. Αἱ γυναῖκες ἀνδρείᾳ κατασκευῇ, καὶ σχήματι κεκοσμημέναι, καὶ ἐν ἀλλήλαις προμελετήσασαι ἃ καὶ λέγειν, καὶ πράττειν ἔμελλον, εἰς τὴν ἐκκλησίαν προέρχονται.

Χο. Ὥρα προβαίνειν ὦνδρες ἡμῖν ἐστι. τοῦτο γὰρ χρή
Μεμνημένας ἀεὶ λέγειν ὡς μή ποτ' ἐξολίσθη
Ἡμᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρὸς ἣν ἁλῶμεν
Ἐνδυόμεναι κατὰ σκότου τόλμημα τηλικοῦτον.
Χωρῶμεν εἰς ἐκκλησίαν ὦνδρες. ἠπείλησε γὰρ
Ὁ θεσμοθέτης ὡς ἂν μὴ πρῷ πάνυ τοῦ κνέφους,
Ἥκῃ κεκονιαμένος βλέπων ὑποτρίμμα,
Στέργων σκοροδάλμη μὴ δώσειν τριώβολον.
Ἀλλ' ὦ Χαριτιμίδη καὶ Σμίκυθε καὶ Δράκη
Ἕπου κατεπείγων σαυτὸν προσέχων ὅπως
Μηδὲν παραχορδίσῃς ὧν δεῖ σ' ἀποδεῖξαι.
Ὅπως δὲ τὸ σύμβολον λαβόντες ἔπειτα πλησίοι καθεδούμεθ' ὡς ἂν χειροτονῶμεν,
Ἅπανθ' ὁπόσ' ἂν δέῃ τὰς ἡμετέρας φίλας.
Καίτοι τί λέγω, φίλους γὰρ χρῆν ὀνομάζειν.
Ὅρα δ' ὅπως ὠθήσομαι τούσδε τοὺς ἐξ ἄστεως

D CHO. Hora procedere ô viri nobis est, hoc enim oportet.
Memores semper dicere, vt non aliquando labefaciat
Nos. periculum enim non paruum, si capti erimus,
Indutæ in tenebra audaciam talem.
Eamus in concilium ô viri, minatus est enim
Præco, vt non mane valde tenebra
E Venerit pulueratus, aspiciens toruè
Amans pultem non dare triobolum.
Sed ô Chariti vna, vel Smicythe & Drace
Sequere vrgens te ipsam, attendens vt
Nil discors, quæ oportet te ostendere.
Vt autem symbolum capientes postea pro-
Pinqui sedeamus, vt feramus sententias,
Omnia quæ cum oportet nostras amicas.
F Tamen quid dico? amicos enim oportebat me nominare.
Vide autem, vt expellamus hos ex ciuitate

BISETVS. Ἐξολίσθη] ἀντὶ τοῦ ἡμᾶς ἐκφεύγῃ. ἐκ τῆς ἡμῶν ψυχῆς, καὶ μνήμης ὀλίσθῃ, τουτέστιν ἐκπέσῃ. τοῦτο δὲ μεταφορικόν.

Σχόλια. Ἐνδυόμεναι] καταδυόμεναι εἰς τηλικαύτην τόλμαν λάθρα. Χωρῶμεν] τοῦτ' ἐστὶν τὸ μέλος, ὃ εἶπεν ἔνδον αὐταῖς τὸ ἀγροικικόν. Θεσμοθέτης] ἀρχή τις G Ἀθήνησιν ἓξ ὄντων τὸν ἀριθμόν. καίτοι ἐκ τῶν καλουμένων, ἐννέα ἀρχόντων. καλοῦνται δὲ οὕτως ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. πρῷ δὲ μονοσυλλάβως, ἀντὶ τοῦ πρωΐ, ἔτι κνέφους ὄντος. Ὑποτρίμμα] δριμύ, οἱ γὰρ δικάζοντες ὀφείλουσι δριμεῖς εἶναι.

BISETVS. Ὡσαύτως καὶ βλέπειν νάπυ, ἢ ὀρίγανον λέγονται οἱ δριμεῖς ἄνθρωποι, ὥς φησιν Εὐστάθιος. καὶ βλέπειν Ἄρην, ἀντὶ τοῦ πολεμικόν, καὶ ἄγριον βλέπειν. ὑποτρίμμα δὲ, ὥς φησιν ὁ Σουΐδας, καὶ Ἡσύχιος, ἥδυσμα ποιόν ἐστιν, ὃ ἔκ τε φοινίκων, καὶ μέλιτος, καὶ κυμίνου, καὶ ἄλλων τινῶν ἀρτυμάτων ἐποιεῖτο. ἀλλὰ ἤδη ἡ λέξις ἐνταῦθα πικρότερόν τι, καὶ ὀξύτερον σημαίνειν ἔοικε. τούτων δὲ πάντων αὕτη ἐστὶν ἡ σύνταξις. Ὁ θεσμοθέτης γὰρ βλέπων ὑποτρίμμα, καὶ στέργων σκοροδάλμη ἠπείλησε μὴ δώσειν τριώβολον ἐκείνῳ δηλονότι, ὃς ἂν μὴ πάνυ πρῷ τοῦ κνέφους ἥκῃ κεκονιασμένος, εἴτε κεκονιαμένος, καὶ ἐγκονῶν,